Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vls-ac

*Ἀνώνυμος Ἀριστοτέλους Σοφιστικῶν Ἐλέγχων* · Sophistical Refutations Anonymous

# Scholia-Sophistical Refutations

*Σχόλια εἰς τὰ Σοφιστικὰ Ἐλέγχη*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πεζός* Prose
**Affiliation:** Aristotelian

book prol 164a20-21 Ὁ μὲν κυριώτατος τῆς ὅλης λογικῆς τοῦ Ἀριστοτέλους πραγματείας σκοπὸς ἦν εἰπεῖν περὶ ἀποδείξεως. ἐπὶ τούτῳ γὰρ καὶ πρῶτον μὲν περὶ ἁπλῶν φωνῶν ἐδίδαξεν, ἔπειτα καὶ περὶ προτάσεων, εἶθ' οὕτως καὶ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ καὶ ἁπλῶς περὶ τῶν χρησίμων τῷ τούτῳ σκοπῷ—ὁποῖα δὲ ταῦτα καὶ τίς ἑκάστου σκοπὸς ἴσμεν ἡμεῖς πολλάκις ἐσκεμμένοι τὰ τοιαῦτα. διδάξας οὖν περὶ ἀποδείξεως ἐδίδαξε καὶ περὶ τοῦ διαλεκτικοῦ συλλογισμοῦ καὶ τὸν οἰκεῖον ἤδη σκοπὸν ἐκπεπλήρωκε.

book prol 164a20-21 νῦν οὖν ἰδίᾳ μέλλει διαλαβεῖν καὶ διδάξαι περὶ τῆς μεθόδου δι' ἧς οἱ σοφισταὶ συνίστων τὰ σοφίσματα καὶ τοὺς ἀπείρους τῆς διαλεκτικῆς ἠπάτων μεθόδου. Ἐπιγέγραπται δὲ "Περὶ τῶν Σοφιστικῶν Ἐλέγχων", οἱονεὶ 'Περὶ τῆς συστάσεως καὶ γενέσεως τῶν σοφισμάτων'· οὐ γὰρ διδάσκει ἡμᾶς πῶς ἂν ἀπατῷμεν τοὺς σοφιστάς. προσέθηκε δὲ τῷ 'ἐλέγχων' 〈καὶ τὸ "καὶ τῶν φαινομένων μὲν ἐλέγχων"〉 διότι τὸ κυριώτατον τῆς σοφιστικῆς τὸ δοκεῖν ἐλέγχειν ἐστί. εἰπὼν δὲ "Περὶ τῶν σοφιστικῶν ἐλέγχων" ἐπήγαγε "καὶ τῶν φαινομένων ἐλέγχων", οἱονεὶ τοῦτο λέγων ὅτι ἐστὶ κυρίως ἔλεγχος ὁ ἐξ ἀντιφάσεως τοῦ συμπεράσματος ᾧ χρᾶται ὅ τε ἀποδεικτικὸς καὶ διαλεκτικός· οὗτοι δὲ οὐκ εἰσὶ κυρίως ἔλεγχοι, ἀλλὰ φαινόμενοι.

book 164a20-21 bis 'Περὶ τῶν σοφιστικῶν ἐλέγχων'· οὐχ ἵνα αὐτοὶ ἀπατῶμεν καὶ ἐλέγχωμεν ἄλλους, ἀλλ' ἵνα αὑτοὶ μὴ ἀπατώμεθα παρὰ τῶν σοφιστῶν. λέγονται δὲ ἀλλαχοῦ 'ἐνοχλήσεις' ὡς παρενοχλοῦντες τὸν διαλεκτικὸν καὶ μὴ ἐῶντες αὐτὸν εὑρεῖν τὴν ἀλήθειαν ἐκ τοῦ τὸν ἀποκρινόμενον ὁμώνυμα καὶ ἀμφίβολα ἀποκρίνεσθαι καὶ ὅλως κακουργεῖν καθ' ἕνα τρόπον ὧν μέλλει ἐρεῖν σοφισμάτων· ὁ γὰρ διαλεκτικὸς κυρίως τῆς ἀληθείας ἐστὶν εὑρετής.

book 164a20-24 Περὶ δὲ .... δοκοῦσι Τῶν σοφιστικῶν συλλογισμῶν οἱ μέν εἰσι περὶ τὴν ὕλην, οἳ τὰς προτάσεις ἔχουσι ψευδεῖς τὸ δὲ εἶδος τοῦ σχήματος ἐρρωμένον· οἱ δὲ περὶ τὸ εἶδος, οἷς τὸ μὲν εἶδος τοῦ σχήματος οὐκ ἔστιν ἐρρωμένον αἱ δὲ προτάσεις ποτὲ μὲν ἀληθεῖς ποτὲ δὲ ψευδεῖς. καὶ οἱ μὲν περὶ τὴν ὕλην λέγονται 'συλλογισμοὶ' ἁπλῶς ἅτε ἐρρωμένοι ὄντες κατὰ τὸ εἶδος, οἱ δὲ παρὰ τὸ εἶδος οὐ λέγονται ἁπλῶς 'συλλογισμοί', ἀλλὰ 'φαινόμενοι συλλογισμοί'· δοκοῦσι γὰρ ὅτι εἰσίν, οὐκ εἰσὶ δὲ διὰ τὸ μὴ ἔχειν τὸ σχῆμα ἐρρωμένον.

book 164a21-22 〈λέγωμεν ἀρξάμενοι κατὰ φύσιν ἀπὸ τῶν πρώτων〉 Ἐπεὶ εἶπον ὅ, τι δεῖ, ἀπὸ τῶν πρώτων κατὰ φύσιν ἄρξομαι. πρῶτον δὲ κατὰ φύσιν κατὰ τὸν φιλόσοφον Ἐφέσιον τὸν συλλογισμόν φησι ὡς γένος· διὰ τοῦτο ἄρχεται καὶ ὁρίζει εὐθὺς τὸν συλλογισμόν. ἢ πρῶτον κατὰ φύσιν

λέγει, ὡς ἔμοιγε δοκεῖ, τὸν κυρίως συλλογισμὸν καὶ τὸν κυρίως ἔλεγχον, ἃ καὶ τῇ ἀληθείᾳ φύσει πρῶτα ὡς ὄντα εἰσί· ὕστερα δὲ λέγει τὰ σοφίσματα ὡς ὑποκρινόμενα τὰ ὄντα, ἤτοι καὶ τὸν κυρίως συλλογισμὸν καὶ τὸν κυρίως ἔλεγχον. διὰ τοῦτο δεῖ πρῶτον εἰπεῖν περὶ τοῦ ἀληθοῦς καὶ τοῦ ὄντος, ἵν' οὕτως δῆλον γένηται καὶ τὸ ταῦτα ὑποκρινόμενον, μὴ ὂν δέ.

book 164a27 〈φυλετικῶς φυσήσαντες〉 Τὸ παλαιὸν ἑορτῆς τελουμένης τὰ πρὸς θυσίαν ἐπιχορηγούμενα πρόβατα καὶ πρὸς δαπάνην τῶν χορευόντων ἐφύσων ἵνα δοκῶσι πίονα ἐπὶ τῆς ἀγορᾶς πεμπόμενα.

book 165a35 δύναμις δὲ αὕτη συνέστηκε· Δύναμιν λέγει τὴν σοφιστικὴν καὶ οὐ τέχνην ἢ ἐπιστήμην, διότι αὗται τῆς ἀληθείας εἰσὶν ἐφευρετικαί· ἡ μὲν γὰρ μετὰ λόγου, ἡ δὲ ἕξις ἐστὶν ἀποδεικτικὴ περὶ τὰ ἀεὶ καὶ ὡσαύτως ἔχοντα καταγινομένη. εἰ δὲ παρακατιὼν τέχνην αὐτὴν ὠνόμασεν, κοινότερον καὶ γενικώτερον τῷ τῆς τέχνης ἐχρήσατο ὀνόματι. ἀπαριθμεῖται οὖν πρῶτον τὰ εἴδη τῶν συλλογισμῶν, εἶτά φησι περὶ οὗ μέλλει διδάξαι.

book 165b28 〈ἄλλος〉 Τὸ διττὸν ὀνόματι ἢ λόγῳ ἐνεργείᾳ θεωρεῖται ἐπὶ τῆς ὁμωνυμίας ὡς 'ὁ κύων', καὶ ἐπὶ τῆς ἀμφιβολίας ὡς τὸ 'γένοιτο, Ζεῦ, τὸν σῦν καταβαλεῖν ἐμέ.' ἢ δυνάμει τὸ διττὸν θεωρεῖται, ὡς ἐπὶ τῶν κατὰ προσῳδίαν παραλογισμῶν, οἷον τὸ 'οροσ' ἄνευ πνεύματος θεωρούμενον δυνάμει ἔχει τὸ διττόν· δύναται γὰρ ἄλλο καὶ ἄλλο σημᾶναι δασυθέντος ἢ ψιλωθέντος τοῦ ο. ὁμοίως καὶ ἐπὶ τῶν κατὰ σύνθεσιν καὶ διαίρεσιν· τὸ γὰρ 'ὁ Σωκράτης βαδίζει' εἰ προσλάβοι τὸ 'δύναται' σημαίνει καὶ τὸ 'δύναμιν ἔχει τοῦ βαδίζειν', καὶ ταῦτα ἐνεργείᾳ βαδίζειν νοούμενα εἴ γε μὴ πρόσκειται τὸ 'δύναται.' φαντασίᾳ δὲ ἔχει τὸ διττὸν ὡς ἐπὶ τῶν παρὰ τὸ σχῆμα τῆς λέξεως σοφισμάτων, οἷον εἰ τὸ λέγειν καὶ τὸ ὁρᾶν ὁμοίως ἐκφέρονται κατὰ τὸν ποιὸν σχηματισμὸν τῆς «λέξεως ... (reliqua illegibilia)»

book 166b28 〈ὁ μὲν οὖν παρὰ τὸ〉 συμβεβηκὸς παραλογισμός ἐστιν· οἷον 'ὁ κύων δισύλλαβον· τὸ δισύλλαβον τετρασύλλαβον· ὁ κύων ἄρα τετρασύλλαβοσ'· οὐ γὰρ εἰ 〈τὸ〉 'κύων' δισύλλαβον, τὸ δὲ 'δισύλλαβον' τετρασύλλαβον, ἀνάγκη καὶ τὸν κύνα τετρασύλλαβον εἶναι.

book 166b29 〈ὅταν ὁμοίως ὁτιοῦν ἀξιωθῇ〉 Ἤγουν ὅταν 〈ὃ〉 ἀξιώσῃ τις ὑπάρχειν τῷ συμβεβηκότι, ἤτοι τῷ κατηγορουμένῳ, τοῦτο ἀξιώσῃ καὶ τῷ πράγματι ὑπάρχειν. οἷον οὐκ ἐπεὶ τὸ λευκὸν κατηγορεῖται τοῦ κύκνου, τῷ δὲ λευκῷ συμβέβηκε τὸ «χρῶμα», διὰ τοῦτο καὶ ὁ κύκνος ἔσται χρῶμα.

book 166b30 〈ἐπεὶ γὰρ τῷ αὐτῷ〉 Πάλιν· τὸ ζῷον κατηγορεῖται τοῦ ἀνθρώπου, τῷ δὲ ζῴῳ ὑπάρχει τὸ ἔμψυχον, τὸ αἰσθητικόν, τὸ δισύλλαβον, τὸ γένος· οὐ πάντα ... ταῦτα ὑπάρξουσι καὶ τῷ ἀνθρώπῳ, ἀλλ' ὅσα μὲν οὐσιωδῶς ὑπάρχει τῷ ζῴῳ, ταῦτα καὶ τῷ ἀνθρώπῳ ὑπάρξει, ὅσα δὲ κατὰ συμβεβηκός, οὐκ ἀναγκαῖον καὶ τῷ ἀνθρώπῳ ὑπάρχειν· εἰ γὰρ ὅσα ὑπάρχουσι τῷ κατηγορουμένῳ, ταῦτα καὶ τῷ ὑποκειμένῳ ὑπάρξουσιν, ἔσονται πάντα, καὶ τὰ συμβεβηκότα καὶ αἱ οὐσίαι, ταὐτά. Νοηθείη δὲ καὶ οὕτως· οὐχ ὅσα τῷ κατηγορουμένῳ ὑπάρχουσι, ταῦτα «καὶ τῷ» ὑποκειμένῳ ὑπάρξουσιν, ὅτι τὸ κατηγορούμενον ἕτερόν τι δηλοῖ αὐτὸ καθ' αὐτὸ λαμβανόμενον καὶ ἕτερον μετὰ τοῦ ὑποκειμένου. εἰ γὰρ εἴπω 'ὁ Σωκράτης ἄνθρωποσ', δηλῶ τὸν ἐγκατατεταγμένον καὶ θεωρούμενον 〈ἐν〉 τῷ Σωκράτει· εἰ δὲ εἴπω 'ὁ ἄνθρωπος ἕτερον τοῦ Σωκράτουσ', δη-

book 166b30 λῶ τὸν καθόλου ἄνθρωπον τὸν ἀκατάτακτον, ἤτοι τὸν αὐτοάνθρωπον.

book 167a36 〈οἱ δὲ παρὰ τὸ τὸ ἐν ἀρχῇ λαμβάνειν〉 Πάλιν αἰτεῖταί τις τὸ ἐν ἀρχῇ καὶ εἰ δείκνυσι τόπον εἶναι οὕτως· 'εἰ ἔστιν ἄνω καὶ κάτω, δεξιὸν καὶ ἀριστερὸν καὶ πρόσω καὶ ὀπίσω, ἔστι καὶ τόπος· ἀλλὰ μὴν ἔστι ταῦτα· ἔστιν ἄρα καὶ ὁ τόπος.' εἰ γὰρ τὸ ὅλον οὐδὲν ἄλλο ἐστὶν ἢ τὰ ἑαυτοῦ μέρη, ὁ λέγων 'εἰ ἔστι τὰ μέρη τοῦ τόπου, ὁ τόπος ἔστιν' οὐδὲν ἄλλο φησὶν ἢ 'εἰ ἄρα ἔστιν ὁ τόπος, ὁ τόπος ἔστιν.

book 169a33 〈μάλιστα δ’ ἐπίσταται〉 Ἐπεὶ ὁ ἄνθρωπος τοῦ Σωκράτους κατηγορεῖται, ἐκφέρονται δὲ καὶ ἄμφω ἑνικῶς, οἰόμεθα ὅτι καὶ ὁ ἄνθρωπος καὶ ὁ Σωκράτης ἓν τῷ ὑποκειμένῳ εἰσί. τοῦτο δὲ ἀληθὲς οὐκ ἔστι· πῶς γὰρ ὁ ἄνθρωπος ὁ καθόλου τόδε τι σημανεῖ, εἴγε τῇ αἰσθήσει μὴ ὑποπίπτει ἀσώματος ὢν καὶ πλῆθος μᾶλλον πεποιωμένον δηλοῦν, ὡς ἐν ταῖς Κατηγορίαις εἴρηκεν;

book 170b25 πολλὰ οἴεται σημαίνειν· Εἰ δὲ μὴ ὁ ἐρωτῶν ἢ ὁ ἐρωτώμενος ἢ καὶ ἄμφω οἴονται πολύσημον εἶναι τὸ ἐρωτώμενον, καὶ ὁ μὲν ἐρωτώμενος ἐπ’ ἄλλου σημαινομένου δέδωκεν, ὁ δὲ ἐρωτῶν ἐπ’ ἄλλου ἐχρήσατο, οὐ πρὸς τὴν διάνοιαν τοῦ ἐρωτωμένου διείλεκται ὁ ἐρωτῶν, ἀλλὰ [ἀλλὰ] πρὸς τοὔνομα (ἐλλείπει γὰρ τοῦτο). ἀλλ’ αὕτη μὲν ἡ ἐξήγησις τοῦ Ἐφεσίου. νοηθήσεται δ’ ἂν καὶ τὸ ῥητὸν οὕτως, ὥς μοι δοκεῖ· ἐὰν τὸ ὂν καὶ τὸ ἓν γινώσκει ὁ ἐρωτῶν καὶ ὁ ἐρωτώμενος ὡς πολύσημον, τότε ὁ ἐρωτῶν οὐ πρὸς τὴν διάνοιαν, ἤγουν πρὸς τὴν διάνοιαν τοῦ ἐρωτῶντος διείλεκται.

book 172a21 〈ἡ δ’ αὐτὴ καὶ πειραστική〉 Ἡ δὲ πειραστικὴ ἡ αὐτὴ τῇ διαλεκτικῇ· ἐρωτᾷ γὰρ καὶ ὁ πειραστικὸς ὡς ὁ διαλεκτικὸς καὶ οὐδὲ ἐκ τῶν καθ’ αὑτὸ ἐπιχειρεῖ. οὐκ ἔστι δὲ ἡ πειραστικὴ ὡς ἡ γεωμετρία, ἀλλ’ ἡ μὲν γεωμετρία λαμβάνει καὶ οὐκ ἐρωτᾷ, ἡ δὲ πειραστικὴ ἐρωτᾷ· καὶ ἡ μὲν γεωμετρία τὸ ἓν μόριον τῆς ἀντιφάσεως, ἤτοι τὸ ἀληθές, καὶ διὰ τοῦτο οὐδὲ ἐρωτᾷ, ἡ δὲ πειραστικὴ ὁποτερονοῦν λαμβάνει μόριον τῆς ἀντιφάσεως, καὶ διὰ τοῦτο καὶ ἐρωτᾷ· καὶ ἡ μὲν πειραστικὴ οὐ λαμβάνει τὰ καθ’ αὑτὸ ἀλλὰ τὰ κοινά, καὶ διὰ τοῦτο ἔχει ταύτην τὴν πειραστικὴν καὶ

book 172a21 ὁ μὴ εἰδώς, ἤτοι ὁ μὴ ἐπιστήμων· τὰ γὰρ κοινὰ ἴσασι καὶ οἱ ἀνεπιστήμονες· οἷον τῇ ἀντιφάσει χρῶνται καὶ οἱ ἀνεπιστήμονες, πλὴν οἱ μὲν ἐπιστήμονες γινώσκουσι τίς ἐστιν ἡ ἀντίφασις καὶ ὅτι τὸ ἄλλο μόριον αὐτῆς ἀληθεύει ἐξ ἀνάγκης, οἱ δὲ ἀνεπιστήμονες ἀτέχνως χρῶνται αὐτῇ, οἷον ἐρωτᾷ θάτερος τὸν ἕτερον ‘ἐμοίχευσας ἢ οὐκ ἐμοίχευσας; ἐποίησας τόδε ἢ οὔ;‘ καὶ ὁ ἀνεπιστήμων πάλιν ὁ μὴ εἰδὼς τὸ πρᾶγμα, ἤτοι τὴν ἀντίφασιν, καὶ τὴν φύσιν αὐτοῦ πεῖραν λαμβάνει τοῦ ἀνεπιστήμονος ἐρωτῶν ἀτέχνως τὴν ἀντίφασιν ‘ἐποίησας ἢ οὔ;‘ ὥσπερ ὁρῶμέν τινας πιθανολογοῦντας καὶ ταῦτα μὴ μαθόντας ῥητορικήν. καὶ ὁ ἐρωτώμενος ἀνεπιστήμων ὢν δίδωσι καὶ συγχωρεῖ οὐχ ἃ οἶδεν ὁ ἐπιστήμων, οὐδὲ τὰ ἴδια τῆσδε τῆς ἐπιστήμης ἐξ ὧν ὁ ἐπιστήμων χαρακτηρίζεται συγχωρῶν, ἀλλὰ τὰ ἑπόμενα, ἤγουν τὰ κοινά, ἃ εἰ γινώσκει τις οὐκ ἐξ ἀνάγκης καὶ ἐπιστήμων ἐστίν, εἰ δὲ καὶ ταῦτά τις ἀγνοεῖ ἐξ ἀνάγκης

book 172a21 ἐπιστήμων οὐκ ἔστιν. ὡς ἐξ ὧν εἴπομεν ἐδείχθη ὅτι ἡ πειραστική, ἤτοι ἡ διαλεκτική, περὶ οὐδὲν ὑποκείμενον ὡρισμένον καταγίνεται, ὁ δὲ διαλεκτικὸς πειραστικός ἐστι μετὰ τέχνης, ἤτοι τὴν τέχνην εἰδώς, διὸ καὶ περὶ πάντων τῶν προτεθέντων θεωρεῖ, εἴτε γεωμετρικόν ἐστιν εἴτε ἰατρικόν. Εἰς τὸ αὐτό· Νοεῖται δὲ τὸ ῥητόν, τὸ “ἡ δ’ αὐτὴ καὶ πειραστική” καὶ οὕτως (ἐπέβαλλε μὲν τῇ ἐξηγήσει καὶ ὁ Ἐφέσιος, πλὴν ἀκροφυῶς καὶ οὐ σώσας τὴν ὅλην τοῦ ῥητοῦ διάνοιαν)·

book 172a21 δείξας ὅτι ἡ διαλεκτικὴ οὐ περὶ ἓν ὑποκείμενον, ἔχων δὲ καὶ ὡς ὁμολογούμενον ἐξ ὧν εἴρηκεν ὅτι ἡ ἐριστικὴ ὑποκρίνεται τὴν διαλεκτικήν, νῦν λέγει ὅτι λοιπὸν ἄρα καὶ ἡ πειραστική, ἤγουν ἡ ἐριστική, ἡ αὐτή ἐστι τῇ διαλεκτικῇ· καὶ γὰρ οὐδὲ αὕτη περὶ ἓν ὑποκείμενον καταγίνεται, οὐδὲ γάρ ἐστιν ἡ ἐριστικὴ τοιαύτη οἵα καὶ ἡ γεωμετρία· ἡ μὲν γὰρ γεωμετρία περὶ ἓν ὑποκείμενον καταγίνεται, ἡ δὲ ἐριστικὴ περὶ πολλά· καὶ ὅτι ἡ μὲν γεωμετρία τοῦ ἐπιστήμονός ἐστι μόνον, ἡ δὲ ἐριστικὴ κοινὴ καὶ τῶν ἐπιστημόνων καὶ τῶν ἀνεπιστημόνων· καὶ γὰρ ἴδῃς ἂν καὶ τοὺς ἰδιώτας ἐριστικῶς πρὸς ἀλλήλους διαλεγομένους, πλὴν ἀτέχνως· καὶ εἰκότως, καὶ γὰρ οἱ ἰδιῶται χρῶνται τῇ ἐριστικῇ, διότι τῆς ἐριστικῆς εἰσι τὰ κοινά, ταῦτα δ’ ἔχουσιν ἀμεθόδως

book 172a21 καὶ ἀτέχνως καὶ οἱ ἰδιῶται.

book 174a12-13

174a12—13 καὶ μέρη τῶν εἰδῶν· Μέρη δὲ τῶν εἰδῶν, τοῦ μὲν παρὰ τὴν λέξιν τὸ παρὰ τὴν ὁμωνυμίαν καὶ τὸ παρὰ τὴν ἀμφιβολίαν καὶ τὰ λοιπὰ τέσσαρα, τοῦ δ’ ἐκτὸς τῆς λέξεως εἰσὶ μέρη ἑπτά· τὸ παρὰ τὸ συμβεβηκός, τὸ παρὰ τὸ ἑπόμενον καὶ τὰ λοιπὰ πέντε. τινὲς δὲ ἡρμήνευσαν τρόπους εἰρημένους τὰ πέντε ὧν στοχάζονται οἱ σοφισταί, οἷον τὸ φαίνεσθαι ἐλέγχειν, τὸ εἰς παράδοξον ἄγειν καὶ τὰ λοιπά.

book 174a40 πρός τε τὸ λαβεῖν τὴν πρότασιν τοὐναντίον· Χρησιμεύει δὲ καὶ πρὸς τὸ λαβεῖν ἣν βούλει πρότασιν, εἰ παραθήσεις αὐτῇ τὴν ἐναντίαν καὶ οὕτως αὐτὴν ἐρωτήσεις. οἷον, εἰ δέοι λαβεῖν σε τὸ πάντα πείθεσθαι τοῖς γονεῦσι καὶ χρησιμεύει σοι, συμπαράθου αὐτῇ καὶ τὴν ἐναντίαν, καὶ οὕτως ἐρωτήσεις· ‘δεῖ πάντα ἀπειθεῖν τοῖς γονεῦσιν ἢ πάντα πείθεσθαι;‘ καὶ ἀπὸ κοινοῦ ληπτέον τὸ “εἰ δέοι”, ἤτοι καὶ πάλιν εἰ δέοι λαβεῖν τὸ πολλάκις πολλὰ πείθεσθαι τῷ πατρὶ ἢ ὀλιγάκις ὀλίγα· τῶν γὰρ ἐναντίων παράλληλα τεθέντων ἀναφαίνεται τὸ κάλλιον, ὡς ἀπό τινος συγκρίσεως καὶ

book 174a40 τὸ λευκὸν παρατεθέντος αὐτῷ τοῦ μέλανος λευκότερον φαίνεται. λέγει δὲ τὴν αἰτίαν καὶ αὐτὸς δι’ ἣν τῷ πολλὰ πείθεσθαι τῷ πατρὶ συμπαρακεῖσθαι δεῖ καὶ τὸ ἐναντίον, καί φησιν ἵνα τῇ παραθέσει τῶν δύο ἐναντίων αἱρετώτερον φανῇ μᾶλλον τὸ δεῖν πολλὰ πείθεσθαι τῷ πατρὶ ἤπερ ἐγῶ.

book 175b23 ἀλλ’ ἴσως οὐ ταὐτὸ σημαίνει· Τοῦτο λύσις ἐστιν ἐνστάσεως· ἴσως γὰρ ἄν τις ἐνέστη λέγων ‘Πῶς, ὦ Ἀριστότελες, εἰπὼν ὅτι εἴ τις ὑπολήψεται τὸν παρὰ τὴν ὁμωνυμίαν ἔλεγχον εἶναι κυρίως ἔλεγχον, συμβήσεται πάντα ἐλεγχθῆναι, τέθεικας παράδειγμα τοῦ παρὰ τὸ συμβεβηκὸς ἐλέγχου;‘ πρὸς ταῦτα γοῦν φησιν· ἀλλὰ τὸ ‘Κορίσκοσ‘ ὄνομα οὐ τὸ αὐτὸ καὶ ἓν σημαίνει, ἀλλὰ πολλά, τόν τε ὁρώμενον Κορίσκον καὶ τὸν κεκαλυμμένον, ὥσπερ οὐδὲ τὸ ‘κύων‘ ὄνομα ἓν σημαίνει ὁμώνυμον ὄν. εἶπε δὲ τὸ “ἴσως” διότι ἐπὶ μὲν τῶν ὁμωνύμων τὸ ‘κύων‘ ὄνομα σημαίνει πράγματα ἕτερα καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὸν λόγον, τὸ δὲ ‘Κορίσκοσ‘ σημαίνει μὲν πολλὰ τῷ λόγῳ καὶ διάφορα, τῷ δὲ ὑποκειμένῳ ἕν· ὁ γὰρ ὁρώμενος Κορίσκος καὶ ὁ κεκαλυμμένος εἷς μέν ἐστι τῷ ὑποκειμένῳ, τῷ δὲ λόγῳ πολλά, ὥσπερ καὶ ὁ Σωκράτης καὶ ὁ λευκὸς Σωκράτης. ὥστε ἐπεὶ καὶ τὸ ‘Κορίσκοσ‘ πολλὰ σημαίνει, ὥσπερ ἐπὶ τῶν ὁμωνύμων τὸ ὄνομα, καὶ ἐγγίζει τοῖς ὁμωνύμοις, οὐδὲν διαφέρει (τοῦτο γὰρ δηλοῖ τὸ “τί διαφέρει”)

book 175b23 εἴγε ἀντὶ τοῦ εἰπεῖν παράδειγμα τοῦ κατὰ τὴν ὁμωνυμίαν ἐλέγχου εἴπομεν παράδειγμα τοῦ κατὰ συμβεβηκὸς ἐλέγχου.

book 175b24–25 εἰ δὲ τῷ μὲν τὸ ἁπλῶς λέγειν Κορίσκον ἀποδώσει· Ἔτι κακίζει τοὺς λύοντας τὸ σόφισμα, ὡς εἴπομεν, καί φησιν ὅτι τὸ συμπέρασμα ὀφείλει εἶναι οἰκεῖον ταῖς προτάσεσι, καὶ οὐκ ὀφείλει ἔχειν τὸ συμπέρασμά τι ὃ οὐκ ἔχουσιν αἱ προτάσεις. πῶς οὖν τοῦ ‘τοῦτον‘ ἢ τοῦ ‘τόνδε‘ μὴ κειμένου ἐν ταῖς προτάσεσιν ἐν τῷ συμπεράσματι ταῦτα ὑμεῖς προστιθέατε; οὕτω γὰρ ἠρώτησεν ὁ ἐρωτῶν· ‘ἆρά γε ὁ Κορίσκος μουσικός ἐστι;‘ καὶ ‘ἆρά γε ὁ κεκαλυμμένος μουσικός;‘· ἄτοπον δέ ἐστιν εἴγε τὸ μὴ κείμενον ἐν ταῖς ἐρωτηθείσαις προτάσεσι προστιθέατε ἐν τῷ συμπεράσματι· εἴτε γὰρ ἐν τῷ συμπεράσματι πρόσκειται τοῦτο, ἐν δὲ ταῖς προτάσεσιν οὔ, εἴτε τοὐναντίον, οὐδὲν συμβάλλεται πρὸς τὴν λύσιν τοῦ σοφίσματος· παρὰ γὰρ τὴν συλλογιστικὴν μέ-

book 175b24–25 θοδον ἐπιχειρεῖτε λύειν τὸ σόφισμα προσλαμβάνοντες ἐν τῷ συμπεράσματι ὃ οὐ κεῖται ἐν ταῖς προτάσεσιν.

book 176a3–4 εἰ οὖν μὴ ὀρθὸν πρὸς δύο ἐρωτήσεις μίαν ἀπόκρισιν ἀξιοῦν· Οὐκ ἔστι, φησί, τοῦ διαλεκτικοῦ κανόνος τὸ ἀξιοῦν ἀπροσδιορίστως καὶ ὡς ἔτυχεν ἀποκρίνεσθαι πρὸς τοὺς ἐρωτῶντας δύο ἐρωτήσεις· ἢ γὰρ οὐδόλως πρὸς αὐτοὺς δεῖ ἀποκρίνεσθαι ἢ μετὰ προσδιορισμοῦ ‘ἔστι μὲν ὥς, ἔστι δ’ ὡς οὔ‘ ἢ μετὰ ἐνδοιασμοῦ προστιθέντας τὸ ‘ἴσωσ‘ ἢ ‘τυχὸν‘ ἢ ‘δοκεῖ.‘ τῇ γὰρ μιᾷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρωτήσει ἀνάγκη εἶναι καὶ μίαν ἀπόκρισιν. λοιπὸν οὖν οὐδενὶ ἐρωτωμένῳ προσήκει ἐπὶ τῶν ὁμωνύμων ἁπλῶς καὶ ὡς ἔτυχε καὶ ἄνευ προσδιορισμοῦ ἀποκρίνεσθαι. ὁ γὰρ ὁμώνυμον ἐρωτῶν πλείω ἐρωτᾷ. οὐδ’ εἰ κατὰ πάντων τῶν πραγμάτων τῶν σημαινομένων ὑπὸ τοῦ ὁμωνύμου ὀνόματός ἐστιν ἀληθὲς τὸ κατηγορούμενον, δεῖ τηνικαῦτα ἀποκρίνεσθαι διὰ τὸ ἀληθεύειν. εἰ γάρ τις ἐρωτήσει ‘ἆρά γε ὁ Αἴας ἐστράτευσεν εἰς τὴν Ἴλιον;‘ οὐ δεῖ ἀποκριθῆναι κἂν ἀληθεύῃ διὰ τὸ πολλὰ ἐρωτῆσαι, ἵνα μὴ συνεθισθεὶς μίαν ἀπόκρισιν διδόναι ἐπί τινων ἐρωτημάτων πολλῶν, ἐφ’ ὧν ἀληθῶς τὸ κατηγορούμενον

book 176a3-4 κατηγορεῖται, πάθῃς τοῦτο καὶ ἐπὶ ἄλλων μὴ τοιούτων· τὸ γὰρ στρατεῦσαι εἰς Ἴλιον καὶ κατὰ τῶν δύο Αἰάντων ἀληθεύει, ὁμοίως καὶ τὸ μὴ μονομαχῆσαι τῷ Θερσίτῃ.

book 176a3-4 col 1 ὥσπερ ἀξιοῦσί τινες· τὸ δὲ “ὥσπερ《ἀξιοῦσί τινες” προ》σέθηκε διότι《10—15 litt. ἀ-》ξιοῦντες 《10—15 litt.》 ἐφ’ ὅσων ἀληθεύει ἐπὶ πάντων τῶν σημαινομένων τὸ κατηγορούμενον τὸ ‘ναί‘ ἢ τὸ《‘οὔ‘ 10 fere litt.》 τὸ γὰρ ὁμώνυμ《ον 12 fere litt.》 οὐδὲν διαφέρει《10—15 litt.》

book 176a3-4 col 2 ἤτοι οὐδὲ ἐὰν ἀληθεύωσιν ὅτι ‘ἆρά γε ὁ Αἴας Θερσίτῃ ἐμονομάχησεν;‘· οὐδεὶς γὰρ ἐμονομάχησεν· ἀλλὰ διὰ τὸ εἶναι ὁμώνυμον οὐ δεῖ ἀποκρίνεσθαι, ὥσπερ ἀξιοῦσί τινες ἐπὶ τῶν ὁμωνύμων τὸ ‘ναί‘ ἢ τὸ ‘οὔ‘ ἀποκρίνεσθαι, ἐφ’ ὅσων ἀληθεύει ἐπὶ πάντων τῶν σημαινομένων τὸ κατηγορούμενον. οὐδὲν γὰρ διαφέρει τὸ ἐρωτῆσαι τοιοῦτόν τι τοῦ προαγαγεῖν τοιαύτην πρότασιν ‘πότερον ὁ Κορίσκος καὶ ὁ Καλλίας οἴκοι εἰσίν, ἢ οὐκ εἰσὶν οἴκοι;‘ εἴτε ἀληθές ἐστι τὸ καὶ ἀμφοτέρους εἶναι οἴκοι εἴτε οὐκ ἀληθές, ἀλλ’ ὁ μέν

book 176a3-4 col 2 ἐστιν οἴκοι, ὁ δὲ οὔ· ἀμφοτέρως γὰρ πολλαὶ αἱ προτάσεις, οὐδὲ γὰρ μία ἐστιν ἡ ἐρώτησις εἰ ἀληθές ἐστι τὸ οἴκοι αὐτοὺς εἶναι.

book 176b29 ἐπεὶ δ’ ἔστιν ἡ μὲν ὀρθὴ λύσις ἐμφάνισις ψευδοῦς· Μέλλων ἐνταῦθα διδάξαι πῶς ἂν λύειν ἰσχύωμεν τὰ σοφίσματα, ἄν τε παρὰ τὴν ὁμωνυμίαν ὦσιν ἄν τε ἄλλως πως, ἀνάγει τὸν λόγον ἐπὶ τὸ καθολικώτερον καί φησιν ὅτι πᾶς συλλογισμὸς σοφιστικὸς ἢ παρὰ τὴν ὕλην ἡμάρτηται ὡς ἔχων τὰς προτάσεις ψευδεῖς, οἷον ‘ὁ λίθος παντὶ ζῴῳ, τὸ ζῷον παντὶ ἀνθρώπῳ‘, ἢ παρὰ τὸ σχῆμα ἡμάρτηται, ὡς ὅταν ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι συλλογιζώμεθα, οἷον ‘ὁ ἄνθρωπος ζῷον, ὁ ἵππος ζῷον‘, ἢ ἐκ δύο μερικῶν ἢ ἄλλως πως. τέως γοῦν ἐνδέχεται τὸν παρὰ τὸ σχῆμα συλλογισμὸν ποτὲ ἔχειν τὰς προτάσεις ἀληθεῖς, ποτὲ δὲ ψευδεῖς, ὁμοίως δὲ

book 176b29 καὶ τὸ συμπέρασμα. ὀρθὴ δὲ λύσις ἐστὶ τοῦ ψευδοῦς συλλογισμοῦ, ἤγουν τοῦ ἔχοντος τὰς προτάσεις ψευδεῖς τὸ δὲ σχῆμα ἐρρωμένον, τὸ ἐμφανίσαι παρὰ ποίαν πρότασιν συνέβη τὸ ψεῦδος, εἴτε παρὰ τὴν μείζονα εἴτε παρὰ τὴν ἐλάττονα, καὶ ἀναιρῆσαι αὐτήν. ὁ δὲ ψευδὴς καὶ σοφιστικὸς συλλογισμὸς διχῶς λέγεται· ἢ γὰρ εἰ συλλελόγισται καὶ συνῆξε ψευδὲς συμπέρασμα —ψευδοῦς δὲ τοῦ συμπεράσματος ὄντος, ἀνάγκη καὶ τὰς προτάσεις εἶναι ψευδεῖς—οἷός ἐστιν ὁ παρὰ τὴν ὕλην ἡμαρτημένος συλλογισμὸς ἔχων δὲ τὸ σχῆμα ἐρρωμένον· ἢ εἰ μὴ ὢν συλλογισμὸς δοκεῖ εἶναι συλλογισμός, οἷός ἐστιν ὁ παρὰ τὸ σχῆμα. εἴη δ’ ἂν τοῦ παρὰ τὸ σχῆμα ἡμαρτημένου συλλογισμοῦ λύσις ἡ εἰρημένη λύσις προσεχῶς, οἷον ὅτι ὁμώνυμα ἐλήφθησαν ἢ ἀμφίβολα ἢ ὅτι ἀσυλλόγιστός ἐστι. καὶ ἡ διόρθωσις καὶ ἡ λύσις τοῦ παρὰ τὴν ὕλην συλλογισμοῦ· λύσις δέ ἐστιν αὐτοῦ τὸ ἐμφανίσαι παρὰ ποίαν τῶν προτάσεων συνήχθη τὸ ψεῦδος (μᾶλλον δὲ συνάγεται τὸ ψεῦδος παρὰ τὸ τὴν μείζονα εἶναι ψευδῆ),

book 176b29 ἣν καὶ ἀναιρετέον. ὥστε συμβαίνει τοὺς συλλελογισμένους συλλογισμούς, δηλαδὴ τοὺς παρὰ τὴν ὕλην, λύειν τῷ ἀναιρῆσαι τὴν ψευδῆ πρότασιν δι’ ἧς τὸ ψεῦδος συνήχθη· τοὺς δὲ παρὰ τὸ σχῆμα λύειν τῷ ἀναλῦσαι τὸν συλλογισμὸν εἰς τὰς προτάσεις καὶ ἰδεῖν εἴτε ἐκ δύο μερικῶν συνήχθη, εἴτε ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι ἢ ἄλλως πως, καὶ οὕτω δεικνύειν αὐτὸν ἀσυλλόγιστον. τὸ δὲ “εἴη ἂν ἥ τε εἰρημένη νῦν λύσις” νοηθείη καὶ οὕτως, ὅτι τοῦ παρὰ τὴν ὕλην ἡμαρτημένου συλλογισμοῦ ἐστι λύσις ἡ νῦν εἰρημένη προσεχῶς, ἤτοι τὸ ἐμφανίσαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρὰ ποίαν τῶν προτάσεων φαίνεται τὸ ψεῦδος συναχθέν, καὶ ἡ διόρθωσις τοῦ φαινομένου συλλογισμοῦ, ἤτοι τοῦ παρὰ τὸ σχῆμα· ἔστι δὲ διόρθωσις αὐτοῦ τὸ δεῖξαι ὅτι ἐκ δύο μερικῶν ἐγένετο ὁ συλλογισμὸς ἢ ἐκ

book 176b29 δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι.

book 176b36–37 πάλιν δὲ ἐπὶ τῶν συλλελογισμένων λόγων οἱ μὲν ἀληθές· Ἀφεὶς λέγειν περὶ τοῦ παρὰ τὸ σχῆμα παραλογισμοῦ διαιρεῖ τὸν παρὰ τὴν ὕλην, καί φησιν ὅτι τῶν παρὰ τὴν ὕλην παραλογισμῶν οἱ μὲν ἔχουσι τὸ συμπέρασμα ἀληθές, ἐπεὶ ἐνδέχεται καὶ ἐκ ψευδῶν ἀληθὲς συναχθῆναι συμπέρασμα· οἱ δὲ ψευδὲς ἔχουσι τὸ συμπέρασμα· εἰ δὲ τὸ συμπέρασμα ψευδές, ἀνάγκη καὶ τὰς προτάσεις εἶναι ψευδεῖς. τοὺς μὲν οὖν ἔχοντας τὸ συμπέρασμα ψευδὲς διχῶς ἔστι λύειν, καὶ δείξαντας ὅτι ἐστὶ τὸ συμπέρασμα ψευδὲς καὶ ἀνελόντας τὴν ψευδῆ πρότασιν τὴν αἰτίαν τοῦ ψευδοῦς συμπεράσματος· τοὺς δὲ ἔχοντας τὰς προτάσεις μόνας ψευδεῖς λύειν ἐν τῷ ἀνελεῖν μόνον τὴν ψευδῆ πρότασιν, τὸ γὰρ συμπέρασμα ἀληθές ἐστιν. Εἶτα ποιεῖται ἀνακεφαλαίωσιν ὧν εἶπε καί φησιν· ὥστε τὸν μέλλοντα λύειν παραλογισμὸν πρῶτον σκεπτέον εἴτε συλλελόγισται ὁ παραλογισμός, ἡμάρτηται δὲ κατὰ τὴν

book 176b36–37 ὕλην, εἴτε ἀσυλλόγιστός ἐστιν· εἶτα, εἰ συλλελόγισται, σκεπτέον πότερον ἀληθές ἐστι τὸ συμπέρασμα τῶν προτάσεων οὐσῶν ψευδῶν, ἢ καὶ τὸ συμπέρασμά ἐστι ψευδές, ὅπως λύωμεν τοὺς παραλογισμοὺς ἢ διαιροῦντες ἢ ἀναλύοντες τὸν συλλογισμὸν εἰς τὰς προτάσεις καὶ εὑρίσκοντες τὴν ἁμαρτίαν τοῦ σχήματος ἢ ἀναιροῦντες τὸ ψευδές, ὡς ἐπὶ τοῦ ἡμαρτημένου παρὰ τὴν ὕλην, ἐρρωμένου δὲ κατὰ τὸ σχῆμα, καὶ ἀναιροῦντες ἢ ὧδε ἢ ὧδε, ἤτοι ἢ τὰς προτάσεις μόνας ὡς ψευδεῖς οὔσας καὶ αἰτίας διὰ τοῦτο ἀτόπου τινός, ἢ καὶ τὸ συμπέρασμα καὶ τὰς προτάσεις, ὅταν δηλονότι ἄμφω εἰσὶ ψευδῆ.

book 177a6–7 διαφέρει δὲ πλεῖστον ἐρωτώμενόν τε καὶ μὴ λύειν· Διαφέρει δέ, φησί, τὸ ἐρωτώμενόν τινα ἐξ ἑτοίμου δύνασθαι λύειν τὸ σόφισμα τῷ κομίζειν ἔνστασιν, καὶ μὴ ἐρωτώμενον κατὰ σχολὴν σκοπεῖν καὶ λύειν τὸ σόφισμα· τὸ μὲν γὰρ ἐξ ἑτοίμου καὶ χωρὶς σκέψεως προϊδεῖν καὶ εὑρεῖν ἔνστασιν δι' ἧς ἂν λύσῃ τὸ σόφισμα χαλεπόν, τὸ δὲ κατὰ σχολὴν ἐπισκέψασθαι τὸ αἴτιον τῆς ἀπάτης ῥᾷον.

book 177a9 τῶν μὲν οὖν παρὰ τὴν ὁμωνυμίαν καὶ τὴν ἀμφιβολίαν ἐλέγχων· Τέσσαρές εἰσι τρόποι ἐξ ὧν τὰ πολλαχῶς λεγόμενα εἴωθε συνίστασθαι· πρῶτος μὲν ὅταν ὁ λόγος ἢ τὸ ὄνομα πολλὰ σημαίνει, ἐξ ὧν τὰ δύο εἴδη, τό τε καθ' ὁμωνυμίαν καὶ τὸ κατὰ ἀμφιβολίαν συνίστασθαι εἴωθε. δεύτερος δὲ ὅταν εἰωθότες ὦμεν οὕτω λέγειν, οἷον 'σιγῶντα' καὶ τὸν σιγῶντα καὶ τὰ σιγῶντα. τρίτος δὲ ὅταν τὸ συντεθὲν πλείω σημαίνει, κεχωρισμένον δὲ ἁπλοῦν εἴη, οἷον τὸ 'ἐπίσταται γράμματα'· οὔτε γὰρ τὸ 'ἐπίσταται' πολλὰ σημαίνει οὔτε τὸ 'γράμματα', συντεθὲν δὲ διττόν ἐστιν, ὃς τρόπος ἴδιός ἐστι τοῦ κατ' ἀμφιβολίαν μόνου. τέταρτος δὲ ὁ ἀντιστρόφως τούτῳ ἔχων, ὅταν τὸ μὲν σύνθετον ἓν σημαίνει, ὡς τὸ 'ἄνθρωπος νεκρός ἐστι', κεχωρισμένον δὲ πολλά, ὥσπερ καὶ τὸ 'ὅμηρος ποιητής ἐστι'· τὸ γὰρ 'Ὅμηρος ἐστί' πολλὰ σημαίνει, ἢ γὰρ ὅτι ποιητής ἐστιν, ἢ ὅτι ζῇ καὶ ἔστι. τούτων οὖν οὕτως ἐχόντων λέγει ὅτι τῶν παρὰ τὴν ὁμωνυμίαν καὶ ἀμφιβολίαν ἐλέγχων οἱ μὲν

book 177a9 ἔχουσι ἓν τῆς προτάσεως, εἴτε τὸ ὑποκείμενον εἴτε τὸ κατηγορούμενον, ὁμώνυμον, ἢ καὶ τὸ ὑποκείμενον καὶ τὸ κατηγορούμενον ὁμώνυμον, ὡς τὸ 'κύων πορεύεται'· ἡ γὰρ πορεία καὶ ἐπὶ ἕρψεως καὶ βαδίσεως καὶ νεύσεως λέγεται. εἰ δὲ τὸ ὄνομα πολλὰ σημαίνει, λοιπὸν καὶ ὁ λόγος ᾧ συνεπλάκη τὸ ὄνομα, ὥστε ἕπεται τοῖς παρὰ τὴν ὁμωνυμίαν τὸ ἔχειν καὶ τὸ ὄνομα πολλὰ σημαῖνον καὶ τὸν λόγον. οἱ δὲ παρὰ τὴν ἀμφιβολίαν ἔχουσι τὸ συμπέρασμα πολλὰ σημαῖνον—ἀντὶ δὲ τοῦ εἰπεῖν 'ἔχει τὸν λόγον πολλὰ σημαίνοντα' εἶπε 'τὸ συμπέρασμα', ἐπεὶ καὶ

book 177a9

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ συμπέρασμα λόγος ἐστίν. ἡ δὲ ἀμφιβολία ἐν λόγῳ θεωρεῖται, οἷον ‘γένοιτο, Ζεῦ, τὸν σῦν καταβαλεῖν ἐμέ.‘ εἰ δέ τις εἴπῃ ὅτι οὐ μόνον ἐν λόγῳ θεωρεῖται ἡ ἀμφιβολία ἀλλὰ καὶ ἐν ὀνόματι, οἷον ‘ἆρ’ ἔστι σιγῶντα λέγειν‘, πρῶτον μὲν ῥητέον πρὸς αὐτὸν ὅτι τὸ ‘σιγῶντα‘ ὄνομα οὐκ ἔστιν ἀλλὰ μετοχή· ὁμοίως δὲ καὶ τὸ ‘ὁρῶντα‘· εἶτα ὅτι ἐν μὲν τοῖς παρὰ τὴν ὁμωνυμίαν παραλογισμοῖς ἀεὶ ἡ διττότης θεωρεῖται ἐν ὀνόμασιν, οἱ δὲ παρὰ τὴν ἀμφιβολίαν ποτὲ μὲν ἐν λόγῳ θεωροῦνται ποτὲ δὲ ἐν ὀνόμασιν. καὶ πάλιν εἴ τις εἴπῃ· “πῶς λέγει ὡς ἐν τοῖς παρὰ τὴν ἀμφιβολίαν παραλογισμοῖς τὸ συμπέρασμα ἔχει τὸ διττόν; καὶ μὴν καὶ ἐν τῇ προτάσει ἐμφαίνεται ἡ διττότης ‘ἆρ’ ἔστι σιγῶντα λέγειν;‘, εἴγε τὸ συμπέρασμα ὡς συμπέρασμα λάβωμεν καὶ μὴ ἀντὶ τοῦ λόγου τοῦτο νοήσομεν.” καὶ

book 177a9 ῥητέον ὅτι τὸ συμπέρασμα ἔχει τὸ διττὸν ἐν τοῖς παρὰ τὴν ἀμφιβολίαν διότι τῷ ἐρωτωμένῳ αἱ προτάσεις οὐ δοκοῦσιν ἔχειν τὸ διττόν, δήλη δὲ αὐτῷ γίνεται ἡ διττότης ἐν τῷ συμπεράσματι. ἢ καὶ οὕτως· ἐπεὶ ἔν τισι τῶν παρὰ τὴν ἀμφιβολίαν παραλογισμῶν τὸ συμπέρασμα ταὐτόν ἐστι μιᾷ τῶν προτάσεων, διὰ τοῦτο τὸ αὐτό, οἷον τὸ ‘ἆρ’ ἔστι σιγῶντα λέγειν‘, λαμβάνει ὁτὲ μὲν εἰς παράδειγμα τοῦ ἔχοντος τὸ συμπέρασμα διττὸν παρὰ τὴν ἀμφιβολίαν παραλογισμοῦ, ποτὲ δὲ τοῦ ἔχοντος τὴν πρότασιν διττήν. ὅταν δὲ τὸ συμπέρασμα ἕτερον ᾖ τῶν προτάσεων, οὐδέποτε ἐλήφθη τὸ συμπέρασμα καὶ ὡς παράδειγμα τῆς ἐχούσης τὸ διττὸν προτάσεως,

book 177a9 ἀλλὰ μόνον ὡς συμπεράσματος.

book 177b6-7 τὰ δὲ φθεγγόμενα οὐ ταὐτά· Τὸ ‘δὲ‘ ἀντὶ τοῦ ‘γὰρ‘ νοητέον, ὡς εἶναι αἰτίαν τοῦ διατί ἄλλα καὶ ἄλλα σημεῖα ποιοῦσιν ἐν τῷ ‘ὅροσ‘ καὶ ‘ὄροσ‘ καὶ ‘κλῆμα‘ καὶ ‘κλίμα.‘ φησὶν οὖν ὅτι καὶ γὰρ διὰ τοῦτο ἄλλα καὶ ἄλλα σημεῖα ποιοῦσι, διότι καὶ τὰ φθεγγόμενα καὶ δηλούμενα παρὰ τῶν τοιούτων ὀνομάτων ἄλλα καὶ ἄλλα εἰσί. καὶ πάλιν· ἆρ’ ἔστιν ἀγαθὸν ὄντα σκυτέα μοχθηρὸν εἶναι;

book 177b6-7 —τοῦτο τὸ συμπέρασμα, ὃ καὶ ἔχει τὴν διττότητα ἐκ τῆς συνθέσεως· δηλοῖ γὰρ ἢ ὅτι ἀγαθὸς μέν ἐστι καὶ σπουδαῖος τὸν τρόπον, φαῦλος δὲ σκυτεὺς καὶ ἄτεχνος, ἢ ὅτι ἀγαθὸς μέν ἐστι σκυτεὺς καὶ ἐπίδοξος κατὰ τὴν τέχνην, φαῦλος δὲ καὶ μοχθηρὸς ἄνθρωπος, ἐφ’ οὗ σημαινομένου καὶ τὸ συμπέρασμα τοῦτο ὁ Ἀριστοτέλης ἐξελάβετο· ἐπὶ γὰρ τοῦ Σίμωνος τὸ σόφισμα ἐρρέθη, ὃς ἀγαθὸς μὲν ἦν τὸν τρόπον, κακὸς δὲ σκυτεύς. οὗτος δὲ τοὐναντίον συνεπεράνατο, τὸ τὸν Σίμωνα ἀγαθὸν ὄντα σκυτέα μοχθηρὸν εἶναι. ἡ δὲ ἀγωγὴ τοῦ σοφίσματος τοιαύτη· ‘ἆρά γε ὁ Σίμων ἀγαθός ἐστι;‘ ‘ναί.‘ ‘ἆρά γε ὁ Σίμων σκυτεὺς μοχθηρός ἐστι;‘ ‘ναί.‘ ‘ὁ Σίμων ἄρα ἀγαθὸς ὢν σκυτεὺς μοχθηρός ἐστιν.‘ ἐπεὶ οὖν ἐκ τῆς συνθέσεως ἐγένετο ἡ ἀπάτη, χρηστέον τῇ διαιρέσει καὶ λυτέον αὐτὸ ὅτι οὐ πάντα τὰ

book 177b6-7 ἰδίως ὑπάρχοντά τινι καὶ ἅμα ὑπάρξουσιν, ὥστε οὐχί, εἰ ὁ Σίμων ἐστὶν ἀγαθός, καὶ εἰ ὁ Σίμων ἐστὶ σκυτεὺς μοχθηρός, ἀναγκαῖον καὶ τὸν Σίμωνα ἀγαθὸν εἶναι σκυτέα μοχθηρὸν ὄντα. “εἴη δ’ ἄν τις ἀγαθὸς ὢν σκυτεὺς μοχθηρός”, ἤτοι εἰκὸς δὲ εἶναί τινα ἀγαθὸν μὲν τὸν τρόπον, μοχθηρὸν δὲ σκυτέα, οἷος ἦν ὁ Σίμων. ὁ δὲ Ἐφέσιος ἑρμηνεύει τὸ “εἴη δ’ ἄν τις ἀγαθὸς ὢν σκυτεὺς μοχθηρός” ὅτι τὰ δύο ἐρωτήματα ἐδήλωσεν ὁ Ἀριστοτέλης ἐκ τοῦ εἰπεῖν “εἴη δ’ ἄν τις ἀγαθὸς ὢν, σκυτεὺς μοχθηρός”· διὰ μὲν γὰρ τοῦ εἰπεῖν “εἴη δ’ ἄν τις ἀγαθὸς ὤν” ἐδήλωσε τὴν ἐρώτησιν τὴν λέγουσαν ‘ἆρά γε ὁ Σίμων ἀγαθός ἐστι;‘· διὰ δὲ τοῦ εἰπεῖν “μοχθηρὸς σκυτεύς” 〈τὴν〉 ‘ἆρά γε ὁ Σίμων σκυτεὺς μοχθηρός ἐστιν.‘—“ὥστε ἔσται ἀγαθὸς σκυτεὺς μοχθηρός”· τοῦτο ἡ λύσις τοῦ σοφίσματος· διαιρήσαντες γὰρ τὸ ‘ἀγαθόσ‘ ἐκ τοῦ ‘σκυτεύσ‘ λύσομεν

book 177b6-7 τὸ σόφισμα, οἷον εἰ εἴπωμεν ‘ἔσται μέν τις ἀγαθόσ‘, καὶ ὑποστίξαντες ἐπάξομεν ‘σκυτεὺς δὲ μοχθηρός.‘ δύναται καὶ τὸ σόφισμα τοιοῦτον εἶναι· ‘ἆρά γε ἔστιν ἀγαθὸν ὄντα σκυτέα μοχθηρὸν εἶναι;‘, τουτέστιν ‘ἆρ’ ἐνδέχεταί τινα ἀγαθὸν μὲν εἶναι σκυτέα, ἄνθρωπον δὲ μοχθηρόν;‘ ‘ναί.‘ ‘ἔστι δέ τις ἀγαθὸς μὲν ἄνθρωπος, πονηρὸς δὲ σκυτεύσ‘, εἶτα ὥσπερ συμπέρασμα ἐπιφέρειν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

‘ὥστε ἀγαθὸς σκυτεὺς μοχθηρόσ‘, τουτέστιν ‘ὥστε ἔσται μὲν ἀγαθὸς ἄνθρωπος, πονηρὸς δὲ σκυτεύσ‘, ἔκειτο δὲ ἔμπαλιν.

book 178b36 〈καὶ ὅτι ἔστι τις τρίτος〉 Καὶ πάλιν· ‘ἆρά γε ὁ ἄνθρωπος περιπατεῖ;‘ ‘ναί.‘ ‘τί δέ, ὁ ἄνθρωπος ὁ καθόλου καθ’ οὗ τὸ περιπατητικὸν κατηγορεῖται οὐκ ἔστιν ἕτερος τοῦ αὐτοανθρώπου;‘ ‘ναί.‘ ὁ γὰρ αὐτοάνθρωπος, ἤτοι ἡ τοῦ ἀνθρώπου ἰδέα, ἀκίνητός ἐστι. ‘τί δέ, ὁ ἄνθρωπος καθ’ οὗ κατηγορῶ τὸ περιπατεῖν, ἤτοι ὁ καθόλου, οὐκ ἔστιν ἕτερος τῶν μερικῶν ἀνθρώπων;‘ ‘ναί.‘ τίς γάρ ἐστιν τῶν καθέκαστα ἐφ’ οὗ λέγεται τὸ περιπατεῖν ἀγνοοῦμεν, τὸν δὲ καθόλου ἄνθρωπον, ἤτοι ᾧτινι λέγομεν ὅτι ὑπάρχει τὸ περιπατεῖν γινώσκομεν. ‘ἔστιν ἄρα τρίτος ἄνθρωπος οὗ τὸ περιπατεῖν κατηγοροῦμεν.‘ ἐγένετο δὲ ἡ ἀπάτη διότι τὸν ἄνθρωπον τὸν ἐγκατατεταγμένον καὶ σχέσιν ἔχοντα ἐν τοῖς μερικοῖς καὶ ἐν αὐτοῖς ὑφιστάμενον ἔδωκεν ὁ ἀποκρινόμενος ὅτι αὐτὸς καθ’ αὑτὸν ὑφίσταται καὶ ἰδίαν ὑπόστασιν καὶ ὕπαρξιν ἔχει. ἔστι δὲ καὶ οὗτος ὁ παραλογισμὸς παρὰ τὸ

book 178b36 σχῆμα τῆς λέξεως διότι δοκεῖ μὲν ὁ ἄνθρωπος ὁ καθόλου ὅτι τόδε τι καὶ οὐσίαν σημαίνει ὅσον ἀπὸ τοῦ σχήματος τῆς προσηγορίας, ὃ δὲ οὐ σημαίνει οὐσίαν ἀλλὰ ποιόν. καὶ ὅτι ἔστι τρίτος ἄνθρωπος παρ’ αὐτὸν τὸν αὐτοάνθρωπον καὶ τοὺς καθέκαστα, τὸ γὰρ ἄνθρωπος καὶ ἅπαν τὸ κοινόν, ἤγουν καὶ ἁπλῶς τὸ καθόλου πᾶν, οὐ τόδε τι καὶ οὐσίαν καὶ ὕπαρξιν ἰδίαν καὶ ὑπόστασιν δηλοῖ, ἀλλὰ τοιόνδε τι, ἤτοι κοινωνίαν τοιάνδε, ἥτις οὐχὶ αὐτὴ καθ’ αὑτὴν θεωρεῖται, ἀλλ’ ἐν τοῖς μερικοῖς ὧν καὶ κοινωνία ἐστίν, ἀφ’ ὧν καὶ ὁ νοῦς αὐτὴν ἀπεσύλησεν. ἐπεὶ γὰρ ἡ κοινωνία κοινόν τινων ἐστι, ἀνάγκη αὐτὴν καὶ ἐν ἐκείνοις θεωρεῖσθαι ὧν κοινωνία λέγεται εἶναι. ἢ σχέσιν τινὰ σημαίνει. ἡ γὰρ κοινωνία σχέσις ἐστίν, ἡ δὲ σχέσις τῶν πρός τι. τὸ δὲ “ὁμοίως δὲ καὶ ἐπὶ τοῦ Κορίσκος καὶ μουσικὸς Κορίσκος” κατασκευή ἐστι τοῦ μὴ εἶναι τρίτον ἄνθρωπον· ὥσπερ γάρ, φησίν, ὁ Κορίσκος ἕτερός ἐστι τοῦ μουσικοῦ

book 178b36 Κορίσκου, ὅμως εἰ καὶ ἕτερός ἐστιν, ἀλλ’ ὅμως ὁ μουσικὸς Κορίσκος ἐν τῷ Κορίσκῳ ἐμφαίνεται καὶ ἰδίαν ὑπόστασιν καὶ ὕπαρξιν ἔχει. ὁ γὰρ Κορίσκος καὶ ὁ μουσικὸς Κορίσκος ταὐτὰ μέν εἰσι τῷ ὑποκειμένῳ, τῷ δὲ λόγῳ ἕτερα—οὕτως καὶ ὁ ἄνθρωπος ὁ καθόλου, εἰ καὶ ἕτερός ἐστι τῶν μερικῶν, ἀλλ’ οὖν ἐν αὐτοῖς ὑφίσταται. τὸ γὰρ ‘μουσικὸς Κορίσκος” οὐσία πεποιωμένη ἐστὶν ἐν τῷ ἁπλῶς Κορίσκῳ ὑφισταμένη. ὁ μὲν γὰρ Κορίσκος οὐσίαν σημαίνει, ὁ δὲ μουσικὸς Κορίσκος οὐσίαν πεποιωμένην, ὥστε οὐκ ἔστιν αὐτὸ ἐκθέσθαι, δηλονότι τὸ συναχθὲν ἄτοπον ὅτι ἔστι τρίτος ἄνθρωπος, ἀπὸ τοῦ ἐκθέσθαι καὶ ἐρωτῆσαι ὅτι ‘ἆραγε ὁ ἄνθρωπος ἕτερός ἐστι τῶν καθέκαστα;‘ ἀλλ’ ἀπὸ τοῦ συγχωρῆσαι τὸν ἀποκρινόμενον ὅτι ὁ ἄνθρωπός ἐστι τῶν καθέκαστα καὶ ὅτι τόδε τι καὶ οὐσίαν σημαίνει καὶ ὕπαρξιν ἔχει ἰδίαν. καὶ οὐ τῷ ἐκτίθεσθαι καὶ ἀπαριθμεῖσθαι τοὺς μερικοὺς ἀνθρώπους καὶ ἐρωτᾶν εἰ ἕτερός ἐστιν ὁ ἄνθρωπος τῶν

book 178b36 καθέκαστα εἰσάγεται ὁ τρίτος ἄνθρωπος, ἀλλ’ ἀπὸ τοῦ συγχωρεῖν τὸν ἀποκρινόμενον σημαίνειν τὸν ἄνθρωπον ὅπερ τόδε τι καὶ οὐσίαν αὐτὴν καθ’ αὑτήν. οὐ γάρ ἐστι τόδε τι εἶναι ὅπερ Καλλίας καὶ ὅπερ ἄνθρωπός ἐστιν· οὐ γὰρ ὥσπερ ὁ Καλλίας σημαίνει οὐσίαν καὶ ὕπαρξιν αὐτὴν καθ’ αὑτήν, οὕτως καὶ ὁ καθόλου ἄνθρωπος. οὐδ’ εἴ τις τὸ ἐκτιθέμενον, ἤτοι κἂν τὸ ἐρωτώμενον, ὅτι ‘ἆρα ὁ ἄνθρωπος ἕτερός ἐστι τῶν καθέκαστα;‘ οὐ λέγει ὁ ἀποκρινόμενος ὅτι τόδε τι σημαίνει ἀλλὰ ποιόν, δίδωσι δὲ αὐτῷ τῷ ποιῷ ἰδίαν ὕπαρξιν καὶ τὸ αὐτὸ καθ’ αὑτὸ εἶναι, ἀλλ’ οὖν οὐδὲν διαφέρει· κἄν τε γὰρ λέγῃ τὸν καθόλου ἄνθρωπον τόδε τι σημαίνειν, ἰδίαν δὲ ἔχειν ὕπαρξιν, κἄν τε λέγῃ τὸν ἄνθρωπον ποιὸν σημαίνειν καὶ ἰδίαν ἔχειν ὑπόστασιν, οὐδὲν διαφέρει· ἐξ ἀμφοτέρων γὰρ ὁ τρίτος ἄνθρωπος συνάγεται, ἔσται γὰρ τὸ παρὰ

book 178b36 τοὺς πολλούς. τοῦτό ἐστιν ἡ πρὸς τὸ πρᾶγμα λύσις καὶ ἀληθής. ἔσται οὖν ὁ ἄνθρωπος καὶ ἁπλῶς πᾶν τὸ καθόλου ἕν τι, ἤτοι ἄλλο παρὰ τοὺς πολλούς, δηλονότι τοὺς μερικούς, ἀλλ’ ἐν τούτοις ἐμφαίνεται καὶ τὴν σχέσιν ἔχει. φανερὸν οὖν ὅτι οὐ δεῖ δοῦναι τὸ κοινὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατηγορούμενον, ἤγουν τὸ καθόλου, ὅτι σημαίνει τόδε τι καὶ οὐσίαν αὐτὴν καθ’ αὑτήν, ἀλλ’ ἢ ποιότητά τινα καὶ κοινωνίαν ἢ οὐσίαν σχέσιν ἔχουσαν ἐν τοῖς μερικοῖς ἢ πλῆθος πεποιωμένον: —

book 179b17 οὐδὲν δὲ κωλύει τὸν αὐτὸν λόγον πλείους μοχθηρίας ἔχειν· Τὸ αὐτὸ δέ, φησί, καὶ ἓν σόφισμα ἐνδέχεται πολλὰς κακίας ἔχειν, πλὴν οὐχὶ ἡ ἐμφάνισις τῆς τυχούσης κακίας ἐστὶ καὶ ἀληθὴς λύσις καὶ πρὸς τὸ πρᾶγμα. ἐγχωρεῖ μὲν γὰρ δεῖξαι ὅτι τὸ συμπέρασμά ἐστι ψευδές, οὐ μὴν δὲ δεῖξαι καὶ τὸ αἴτιον παρ’ ὃ συνήχθη τὸ ψεῦδος. ἔστω γὰρ συμπέρασμα ψευδὲς ὅτι ὁ Σωκράτης γράφει ἐκ προτάσεων ψευδῶν συναχθέν. ὁ οὖν συλλογισμὸς οὗτος πολλὰς ἔχει κακίας, πλὴν οὐχὶ εἰ δείξω τὸ συμπέρασμα ψευδὲς ἢ τὴν ἐλάττονα, ἤδη καὶ τὸν συλλογισμὸν ἔλυσα, ἀλλ’ εἰ δείξω τὴν μείζονα ψευδῆ· αὕτη γάρ ἐστι καὶ τοῦ ψευδοῦς συμπεράσματος αἰτία,

book 179b17 ἢ ὅτι ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι. ἢ εἴ τις ἐπιχειρεῖ λῦσαι τὸν συλλογισμὸν τοῦ Ζήνωνος ἀπὸ τοῦ συνάγειν ἀδύνατόν τι ἐκ τῆς τοῦ Ζήνωνος ὑποθέσεως, ἁμαρτάνει καθόσον οὐ λύει τὸν συλλογισμόν, ἢ μᾶλλον εἰπεῖν παραλογισμόν. ὥστε εἴ τις ἐπιχειρεῖ συνάγειν καὶ δεικνύειν ὅτι ἀδύνατόν ἐστι μὴ εἶναι κίνησιν· κινήσεως γὰρ μὴ οὔσης οὐδὲ ὁ ἥλιος κινηθήσεται, καὶ εἰ μὴ τοῦτο, οὐδὲ ἡμέρα ἔσται οὐδὲ νύξ· ἁμαρτάνει οὖν συνάγων καὶ συνελαύνων τὴν τοῦ Ζήνωνος ὑπόθεσιν εἰς ἀδύνατόν τι καθόσον οὐκ ἔλυσε τὸν λόγον τοῦ Ζήνωνος. κἂν γὰρ μυρία ἀδύνατα προφανῆ συνελογίσατο καὶ ἔδειξεν ἐξ αὐτοῦ, ἀλλ’ οὐκ ἔστι τοῦ ψευδοῦς τοῦτο συλλογισμοῦ λύσις, τὸ συνάγειν ἀδύνατα, ἀλλὰ τὸ δεῖξαι τὸ αἴτιον δι’ ὃ ἐγίνετο ψευδὴς ὁ τοῦ Ζήνωνος συλλογισμός· ἔστι δὲ τοῦτο τὸ λαβεῖν τὰ ἄπει-

book 179b17 ρα ἐνεργείᾳ. περὶ δὲ τούτου πολλάκις ἡμῖν εἴρηται.

book 180a9 τὸ δὲ τοῦτο τούτων εἶναι· Τὸ δὲ λέγειν τοῦτο τούτων εἶναι οὐ λέγεται πολλαχῶς, ἀλλ’ ὡς ὡρισμένως δηλοῖ ὅτι κτῆμά ἐστιν, ὡς ἡ Ποτίδαια τῶν Ἀθηναίων. εἰ δὲ λέγει τις ὅτι πολλὰ σημαίνει τὸ ‘τοῦτο τούτων‘, ψεύδεται. καὶ γὰρ τὸν ἄνθρωπόν φαμεν εἶναι τῶν ζῴων, ἀλλ’ οὐχὶ ὡς κτῆμα, ἀλλ’ ὡς εἶδος τῶν ζῴων. ὥσπερ γὰρ ὁ λέγων τὸν ἄνθρωπον εἶναι τῶν ζῴων οὐ πολλὰ ἐσήμαινεν, ἀλλ’ ἕν· ἐδήλωσε γὰρ τοῦτο μόνον ὅτι ὁ ἄνθρωπός ἐστι τῶν ζῴων εἶδος καὶ ἀπὸ τῶν ζῴων, ἀλλ’ οὐκ ἐσήμηνεν ὅτι καὶ κτῆμά ἐστι τῶν ζῴων· ὥσπερ καὶ ἡ Ποτίδαια ὅτι ἐστὶ κτῆμα τῶν Ἀθηναίων· οὕτω καὶ ὁ λέγων τοῦτο τούτου εἶναι οὐ σημαίνει πολλά, ἀλλ’ ἓν μόνον, ὅτι τοῦτό ἐστι δοῦλος τούτου ἢ τέκνον ἢ κτῆμα.

book 180a9 πρὸς γὰρ εἰδότας ἐγίνετο τὰ σοφίσματα ταῦτα, ὡς εἴπομεν. εἰ δὲ ἐκεῖνο πολλὰ ἐσήμαινεν, ἤγουν καὶ ὡς εἶδος τῶν ζῴων καὶ ὡς κτῆμα καὶ τὸ ‘τοῦτο τούτου‘ πολλὰ ἂν ἐσήμαινε. “καὶ ἐάν τι πρὸς τὰ κακὰ” ἀναφέρηται ὡς τῶν πρός τι ὄν, ὥσπερ ἡ φρόνησις λέγεται εἶναι τῶν κακῶν, ὡς οὖσα τῶν πρός τι, ἐπιστήμη· καθὸ γὰρ ἐπιστήμη λέγεται εἶναι τῶν κακῶν· ἡ γὰρ φρόνησις ἐπιστήμη ἐστὶ τῶν κακῶν καὶ ὡς ἐπιστήμη ἀναφέρεται εἰς τὰ κακά· ὁ γὰρ φρόνιμος ἐπίσταται τὰ κακά, ἀλλ’ οὐχὶ ἡ φρόνησις κακὴ οὖσά ἐστι τῶν κακῶν, ἢ οὐχὶ εἰ συμβέβηκε τοῖς κακοῖς ἐπιστητοῖς οὖσι, συμβέβηκε δὲ καὶ τῇ φρονήσει ἐπιστήμῃ εἶναι αὐτῶν, ἤδη διὰ τοῦτο καὶ ἡ φρόνησις εἴη κακόν, ἀλλ’ ἐπιστήμη τῶν κακῶν. ἐγένοντο δὲ παρὰ τὸ συμβεβηκὸς τὰ σοφίσματα, οὐ παρὰ τὸ διττόν. λέγονται οὖν τὰ παρὰ τὸ συμβεβηκὸς εἶναι πῂ καὶ ἁπλῶς· ὅδε γὰρ τοῦδε λέγεται

book 180a9 εἶναι οὐχὶ ἁπλῶς, ἤτοι καθόλου καὶ κατὰ πᾶν, ἤγουν καὶ ὡς τέκνον καὶ ὡς πατὴρ καὶ ὡς δοῦλος (οὐ γὰρ πολύσημόν ἐστι τὸ ‘τόδε τοῦδε‘, ὡς εἴπομεν), ἀλλὰ πῂ λέγεται εἶναι τοῦδε, ἢ ὡς δοῦλος ἢ ὡς τέκνον καὶ καθ’ ἓν σημαινόμενον. ἐγένετο δὲ ἡ ἀπάτη καθόσον τὸ πῂ λεγόμενον, οἷον ἐπὶ τοῦ δούλου μόνου, ἔλαβεν ὁ σοφιστὴς ὡς ἁπλῶς λεγόμενον, ἤγουν καὶ ἐπὶ τέκνου καὶ πατρὸς καὶ τῶν λοιπῶν. καίτοι ἐγχωρεῖ ἴσως ἀγαθόν τι λέγεσθαι εἶναι τῶν κακῶν διττῶς, ὡς ἡ ἀνδρεία· ᾗ μὲν γὰρ ἀρετὴ λέγεται εἶναι τῶν ἀγαθῶν, ᾗ δὲ τραυμάτων [περι]ποιητικὴ λέγεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι τῶν κακῶν. ἀλλ’ ἐπὶ τοῦ λόγου τούτου, τοῦ ὅτι ἡ φρόνησις τῶν κακῶν, οὐκ ἐγχωρεῖ λέγεσθαι εἶναι κακὸν κατά τινα ἄλλον λόγον καὶ ταῦτα οὖσαν ἀγαθόν, ἀλλὰ μόνον λέγεται εἶναι ἀγαθόν. πρόσκειται δὲ τὸ ‘ἴσωσ‘ διότι καθ’ αὑτὸ καὶ κυρίως μὲν ἡ

book 180a9 ἀνδρεία ἐστὶν ἀγαθόν, κατὰ δόξαν δὲ καὶ ὡς δοκεῖ τισιν, ἔστι καὶ τῶν κακῶν διὰ τὰ ἐν πολέμῳ τραύματα. καὶ ταῦτα μὲν οὕτως ἐξεβλήθησάν τε παρ’ ἡμῶν καὶ ἡρμηνεύθησαν· ὁ δέ γε Ἐφέσιος οὕτως τοῦτο ἐνόησεν ὅτι “ὁ λόγος ὁ λέγων ἡ ἀνδρεία τῶν κακῶν διττός ἐστιν· ἢ γὰρ ὅτι κακόν τί ἐστιν ἡ ἀνδρεία, ἢ ὅτι ἐπίσταται τὰ κακά. ἀλλ’ εἰ καὶ ἐνδέχεται ποτέ τινα λόγον λέγοντά τι ἀγαθὸν εἶναι τῶν κακῶν τὸ διττὸν ἔχειν, ὡς ἐπὶ τῆς ἀνδρείας, τοῦ πλούτου καὶ τῆς ὑγείας, ἀλλ’ οὔτι γε τὸν λέγοντα τὴν φρόνησιν τῶν κακῶν τὸ διττὸν ἔχειν φήσαιμεν.” “ἀλλ’ εἴ τι δοῦλον εἴη ἀγαθὸν ὄν”· πρὸς μὲν οὖν τὴν ἐπάνω καὶ τάχα ἡμετέραν ἐξήγησιν οὕτω συμβιβαστέον τὸ ῥητόν· εἰπὼν γὰρ ἄνω ὅτι οὐκ ἐπὶ τοῦ λόγου τούτου, ἤγουν τοῦ σοφίσματος τοῦ ὅτι ἡ φρόνησις τῶν κακῶν, ἔστι τὸ διττόν—οὐ γὰρ ἀμφίβολόν ἐστι—φησὶν ὅτι

book 180a9 μᾶλλον τοῦτό ἐστιν ἀμφίβολον καὶ ἔχον διττότητα, τὸ εἴ τι δοῦλον ἀγαθὸν μοχθηροῦ· δηλοῖ γὰρ ἢ ὅτι μοχθηροῦ τρόπου ἐστίν, ἢ ὅτι μοχθηροῦ δεσπότου ἐστίν. “ἴσως δὲ οὐδὲ οὕτως” ὁ λόγος ἔχει τὸ διττόν. συντάσσεται δὲ καὶ οὕτως· ἴσως δὲ οὐδὲ οὕτως ὁ λόγος λεγόμενος ἔχει τὸ διττόν, οἷον ὅτι δοῦλον ἀγαθὸν μοχθηροῦ· οὐ γὰρ εἰ ἀγαθόν ἐστι δοῦλον—λείπει γὰρ τὸ ‘δοῦλον‘—καὶ τούτου, ἤτοι τοῦ μοχθηροῦ. ῥητέον δὲ τοῦτο σαφέστερον· οὐ γὰρ εἰ τὸ δοῦλον λέγεται ἀγαθὸν καὶ λέγεται καὶ τούτου, ἤτοι τοῦ μοχθηροῦ, εἴη ἂν ἅμα, ἤγουν τὰ δύο μόνα, ἤτοι τὸ ‘ἀγαθὸν‘ καὶ τὸ ‘μοχθηροῦ‘, λεγόμενα ὡς λέγεσθαι τὸ ἀγαθὸν τούτου, ἤτοι μοχθηροῦ, ἐν τῷ ἀφελεῖν τὸ ‘δοῦλον‘· οὐ γὰρ πάντα τὰ συνθέτως λεγόμενα δύνανται καὶ ἰδίᾳ λέγεσθαι. εἰ γὰρ ἀγαθόν ἐστι, πῶς ἂν εἴη καὶ μοχθηροῦ τρόπου; ἀλλ’ ὅταν λέγω ‘εἴ τι ἀγαθὸν δοῦλον

book 180a9 μοχθηροῦ‘, εὐθὺς συννοῶ ὅτι καὶ δεσπότου μοχθηροῦ ἐστιν. εὕρηται δέ μοι καὶ σχόλιον οὕτως ἔχον· οὐ γὰρ εἰ ἀγαθὸν ᾖ δοῦλον καὶ τούτου, ἤτοι μοχθηροῦ, εἴη ἂν ἅμα ἀγαθὸν τούτου, ἤτοι μοχθηροῦ τρόπου. οὐδὲ τὸ φάναι τὸν ἄνθρωπον τῶν ζῴων εἶναι πολλαχῶς λέγεται· οὐ γὰρ εἰ σημαίνομέν τι πρᾶγμα ἀφελόντες ἀπὸ τοῦ ὅλου λόγου τὶ μέρος τοῦ ὅλου, τὸ ἀποτμηθὲν τοῦ ὅλου πολλαχῶς ῥηθήσεται. τὸ μὲν γὰρ ‘ἀγαθὸν δοῦλον μοχθηροῦ‘ οὐ σημαίνει πολλά. οὐ μὴν δὲ εἰ ἀφέλωμεν ἀπὸ τούτου τοῦ ὅλου λόγου τὸ ‘δοῦλον‘ καὶ εἴπωμεν ‘ἀγαθὸν μοχθηροῦ‘, ἤδη τοῦτο σημαίνει πολλὰ παθὸν ἀφαίρεσιν τοῦ δούλου. οὐ γὰρ εἰ ἀφαιρήσω τι τοῦ ὅλου, τὸ καταλειφθὲν ἐξ ἀνάγκης θέλει σημαίνειν πολλά. εἰ γὰρ τοῦτο ἦν, λοιπὸν καὶ ὁ λόγος ὁ λέγων ὅτι ‘δός μοι τὸ ‘Μῆνιν ἄειδε θεά‘ (τὸ ἥμισυ τοῦ ἔπουσ)‘ ἦν ἂν διττόν, καὶ οὐ μόνον ἐσήμαινε

book 180a9 τὸ ἥμισυ τοῦ στίχου, ἀλλὰ καὶ τὸ ἥμισυ τῆς Ἰλιάδος, ἐπεὶ καὶ ἐνταῦθα τὸ ‘Μῆνιν ἄειδε θεά‘ ἀπεκόπη τοῦ ὅλου στίχου. ὥστε οὐ πᾶν τὸ ἀποκοπὲν ἀπό τινος ἤδη διὰ τοῦτο καὶ πολύσημον ἔσται. οὐ γὰρ εἰπόντες ‘δός μοι τὸ ἥμισυ τοῦ ἔπους, τὸ ‘Μῆνιν ἄειδε θεά‘, ἐσημήναμεν τὸ ἥμισυ τῆς Ἰλιάδος, ἀλλὰ τὸ ἥμισυ τοῦ στίχου. καὶ ταῦτα μὲν οὕτως ἡμεῖς ἐξελαβόμεθα. ἔστι δὲ καὶ τὰ τοῦ Ἐφεσίου οὕτως ἔχοντα—ῥητέον γὰρ αὐταῖς λέξεσι ταῦτα τῆς ἀκολουθίας ὄντα τῆς ἄνωθεν ῥηθείσης αὐτοῦ ἐξηγήσεως—φησὶν οὖν ὅτι εἰπὼν ὁ Ἀριστοτέλης τὸν λόγον τὸν λέγοντα τὴν φρόνησιν τῶν κακῶν οὐκ ἔχειν τὸ διττόν, ἀλλὰ δοκεῖν μάλιστα τοῦτο συμβαίνειν ἐπὶ τῆς ἀνδρείας, ἐπάγει καὶ τίθησι ἕτερον [sequuntur verba Ps.—Alexandri—1 167.13 λόγον—168.11 λέγεται, post quae ita pergit noster:] ζήτει δὲ τὰ λοιπὰ ἐν τοῖς σχολίοις τοῦ Ἐφεσίου· οὐ γὰρ δυνάμεθα ταῦτα παραγράφειν.

book 180a23-24 τοὺς δὲ παρὰ τὸ κυρίως τόδε ἢ πῇ ἢ ποὺ ἢ πὼς ἢ πρός τι· Τοὺς δὲ παραλογισμούς, φησί, τοὺς γινομένους παρὰ τὸ λέγεσθαι τόδε κυρίως, ἤτοι ἁπλῶς, ἢ πῇ ἢ ποὺ ἢ πρός τι καὶ μὴ ἁπλῶς· εἰς καθολικώτερον γάρ τι ἀναγαγὼν τὸν λόγον εἶπε ‘μὴ ἁπλῶσ‘· τοῦ γὰρ μὴ ἁπλῶς μέρη εἰσὶ τὸ πῇ καὶ τὸ ποὺ καὶ τὸ πρός τι· πάντα γὰρ ταῦτα μὴ ἁπλῶς λέγονται—τοὺς οὖν παραλογισμοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτους λυτέον σκοποῦντι τὸ ἀντιφατικῶς συναχθὲν συμπέρασμα εἰ πέπονθέ τι τούτων ὧν εἴπομεν, ἤγουν εἰ παρὰ τὸ πῃ ἐγένετο ἡ ἐν τῷ συμπεράσματι ἀντίφασις ἢ παρὰ τὸ πὼς ἢ παρὰ τὸ πρός τι. ἀδύνατον μὲν γὰρ εἶναι τὸ αὐτὸ καὶ ἓν ἁπλῶς καὶ λευκὸν καὶ οὐ λευκόν, πῃ δὲ οὐκ ἀδύνατον, ὥ-

book 180a23-24 σπερ ὁ ὀφθαλμός· πῃ μὲν γάρ ἐστι λευκός, πῃ δὲ οὐ λευκός, ὥστε εἰ συνάξει τις ὅτι ὁ ὀφθαλμὸς ἄρα καὶ λευκός ἐστι καὶ οὐ λευκός, οὐ συνεπέρανεν· οὐ γὰρ ἐπὶ τοῦ αὐτοῦ συνῆξε τὴν ἀντίφασιν. ὁμοίως καὶ εἰ συνάξει τις ὅτι ἡ νόσος ἐστὶ καὶ ἀγαθὴ καὶ οὐκ ἀγαθή, οὐ συνεπέρανεν· οὐ γὰρ ἁπλῶς ἐστι τὸ ἀγαθὸν καὶ οὐκ ἀγαθόν, ἀλλὰ πρὸς μὲν τὸν τυμβωρύχον καὶ τὸν ληστὴν ἀγαθόν ἐστιν, ἁπλῶς δὲ οὐκ ἀγαθόν. παρὰ τὸ πρός τι γοῦν ἐνταῦθα ἡ ἀπάτη· οὐ γὰρ δεῖ ἐπὶ τοῦ ἀντιφατικῶς συναχθέντος συμπεράσματος τὴν μὲν κατάφασιν ἁπλῶς λέγεσθαι, τὴν δὲ ἀπόφασιν πρός τι. καὶ εἴ τις συνάξει ὅτι τὸ μὴ ὂν ἔστι καὶ οὐκ ἔστιν, οὐ συνεπεράνατο· τὸ γὰρ μὴ ὂν πώς ἐστι, ἤτοι ὡς δοξαστόν, οὐ μὴν δὲ ἁπλῶς ἔστιν· ἁπλῶς γὰρ οὐκ ἔστι τὰ ἐναντία, οἷον τὸ πείθεσθαι καὶ μὴ πείθεσθαι, τὸ εὐορκεῖν καὶ μὴ εὐορ-

book 180a23-24 κεῖν, καὶ ὅλως τὰ ἀντικείμενα καὶ φάσιν καὶ ἀπόφασιν ἀδύνατον ὑπάρχειν καὶ θεωρεῖσθαι ἐν τῷ αὐτῷ καὶ ἑνὶ ὑποκειμένῳ ἀληθῶς· ἑκάτερον δὲ τῶν ἐναντίων, ἤγουν καὶ τὸ λευκὸν καὶ τὸ μέλαν, οὐκ ἀδύνατόν ἐστιν ὑπάρχειν πῃ ἐν τῷ αὐτῷ καὶ ἑνὶ ὑποκειμένῳ (ὡς ἐπὶ τοῦ ὀφθαλμοῦ) ἢ πρός τι (ὡς ἐπὶ τῆς νόσου) ἢ πώς, οἷον τὸ μὴ ὂν οὐχ ἁπλῶς λέγεται καὶ ὅτι ἔστι καὶ ὅτι οὐκ ἔστιν, ἀλλὰ πὼς λέγεται ὅτι ἔστιν (ὡς δοξαστόν)· ἢ τὸ μὲν πῄ, τὸ δὲ ἁπλῶς, ὡς ἐπὶ τοῦ αἰθίοπος· οὗτος γὰρ ἁπλῶς μέν ἐστι μέλας (κατὰ τὴν τῆς σαρκὸς ἐπιφάνειαν), πῃ δὲ λευκός (κατὰ τοὺς ὀδόντας)· ὥστε οὔπω γίνεται ἔλεγχος εἰ συνάξει τις ὅτι ὁ αἰθίοψ ἐστὶ καὶ λευκὸς καὶ οὐ λευκός· ἐπὶ γὰρ τοῦ αὐτοῦ καὶ ἑνὸς ὀφείλει συνάγεσθαι ἡ ἀντίφασις. καὶ ἐπὶ τοῦ ἁπλῶς μὴ ὄντος εἰ συνάξει τις τὴν ἀντίφασιν ὅτι ἔστι καὶ ὅτι οὐκ ἔστιν, οὐκ ἔλεγχον ἐποίησε· πὼς

book 180a23-24 γάρ ἐστιν ὂν τὸ μὴ ὄν (ὡς δοξαστόν), ἀλλ’ οὐχ ἁπλῶς [μὴ] ὄν, ἁπλῶς δὲ μὴ ὄν. εἴτε δὲ ἔλεγχος ἐγένετο ἢ οὐκ ἐγένετο, ὀφείλομεν θεωρεῖν πρὸς τὸ ἀντιφατικῶς συναχθὲν συμπέρασμα. ὁ δέ γε Ἐφέσιος οὕτως ἑρμηνεύει τὸ “πῃ ἢ ποὺ ἢ πώς”· φησὶ γὰρ ὅτι “τινές εἰσιν οἳ παρὰ τὸ κυρίως ἐξηγήσαντο διὰ το〈ῦ〉 ‘ἢ πῃ ἢ ποὺ ἢ πώσ‘· ὅσοι γὰρ παρὰ τὸ πῃ ἢ ποὺ ἢ πὼς ἀληθεῦον ἢ μὴ ἀληθεῦον καὶ ἁπλῶς ἀληθεύειν ἢ ψεύδεσθαι ἢ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἀξιοῦντες παρὰ τὸ κυρίως λεγόμενον ἀξιοῦσιν”.

book 181b25 περὶ δὲ τῶν ἀπαγόντων εἰς τὸ αὐτὸ πολλάκις εἰπεῖν· Ἐντεῦθεν ἐπιχειρεῖ λύειν τὰ σοφίσματα τὰ γινόμενα παρὰ τὸ ἀδολεσχεῖν, καί φησιν ὅτι ἐπεὶ τὰ πρός τι τὸ εἶναι ἔχουσιν ἐν τῷ πρὸς ἕτερον ἀναφέρεσθαι καί εἰσιν ἀχώριστα ἀπ’ ἀλλήλων, εἴ τις τῶν σοφιστῶν χωρίσει τὸ ‘πατὴρ‘ ἀπὸ τοῦ υἱοῦ καὶ ἐρωτήσει ‘ἆρά γε ὁ πατὴρ σημαίνει τι;‘, μὴ δῷς αὐτῷ σημαίνειν τι· εἰ γὰρ καὶ δυνάμει σημαίνει τὸν υἱόν, ἀλλ’ οὖν ἐνεργείᾳ οὐ σημαίνει αὐτόν· ὥστε ἐνεργείᾳ οὐδὲν σημαίνει. γίνονται δὲ οἱ τοιοῦτοι παραλογισμοὶ ἐν τῷ οἴεσθαι τὸν πατέρα χωριζόμενον τοῦ υἱοῦ δηλοῦν αὐτόν. φανερὸν οὖν ὅτι τὰς κατηγορίας τῶν πρός τι λεγομένων, ἤγουν τὰ ὀνόματα τὰ ὡς πρός τι λεγόμενα, χωριζόμενα ἀπὸ τῶν πρὸς ἃ λέγονται καὶ τὴν ἀναφορὰν ἔχουσι καὶ αὐτὰ καθ’ αὑτὰ λαμβανόμενα, οἷον τὸ ‘διπλάσιον‘ εἰ χωρισθείη τοῦ ἡμίσεος καὶ αὐτὸ καθ’ αὑτὸ ληφθείη, οὐ δεῖ διδόναι σημαίνειν ἐνεργείᾳ τι, ἤγουν τὸ ἥμισυ, κἂν

book 181b25 δυνάμει αὐτὸ σημαίνῃ. ὁ δὲ Ἐφέσιος ἑρμηνεύει τὸ ‘τὶ‘ ἀντὶ τοῦ ‘σύνθετον‘, διότι ἀεὶ τὰ σύνθετα μερικώτερά εἰσι. τὸ γὰρ ζῷον λογικὸν θνητὸν μερικώτερόν ἐστι τοῦ ζῴου. τὸ γοῦν πρός τι, φησίν, ἤγουν τὸ διπλάσιον χωριζόμενον τοῦ ἡμίσεος οὐ δηλοῖ τι, ἤγουν σύνθετον, ἤτοι τὸ διπλάσιον τοῦ ἡμίσεος. τὸ γοῦν ‘διπλάσιον‘ ἄνευ τοῦ ‘διπλάσιον ἡμίσεοσ‘, ἤγουν χωρισθὲν τοῦ συνθέτου τούτου λόγου καὶ αὐτὸ καθ’ αὑτὸ ληφθέν, οὐ σημαίνει τὸ ἥμισυ ἐνεργείᾳ· οὐ γὰρ διότι ἐν τῷ εἰπεῖν ‘διπλάσιον‘ δυνάμει ἐμφαίνεται τὸ ἥμισυ, διὰ τοῦτο δεῖ λέγειν ὅτι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνεργείᾳ σημαίνει αὐτό. περὶ τούτου οὖν διδάσκει ἡμᾶς καὶ παραγγέλλει ἐρωτωμένους πότερον τὸ διπλάσιον καθ’ αὑτὸ λεγόμενον καὶ μετὰ τοῦ ἡμίσεος τὸ αὐτὸ σημαίνει καὶ τὸ αὐτό ἐστιν ἢ
book 181b25 οὔ, μὴ διδόναι ἀλλὰ φάσκειν ὅτι ἄλλο μέν ἐστι τὸ εἰπεῖν ‘διπλάσιον‘ καὶ ἄλλο τὸ ‘διπλάσιον ἡμίσεος.‘ εἰ γὰρ ἐν τῷ εἰπεῖν ‘διπλάσιον‘ ἐμφαίνεται καὶ συνεπινοεῖται τὸ ‘ἡμίσεοσ‘, ἀλλ’ οὖν ἄλλο ἐστὶν εἰ κεῖται ἐνεργείᾳ τὸ ‘ἡμίσεοσ‘ καὶ ἄλλο εἰ μὴ κεῖται ἐνεργείᾳ ἀλλὰ δυνάμει. δείκνυσι δὲ τοῦτο καὶ δι’ ἐπαγωγῆς, καί φησιν ὅτι τὰ ἐννέα μονάδι λείπονται τῶν δέκα· ἐν γοῦν τοῖς ἐννέα τοῖς μονάδι ἐνδέουσι τῶν δέκα ἐμφαίνονται τὰ δέκα, ἤτοι ἐν τοῖς οὐ δέκα, τὰ γὰρ ἐννέα οὐ δέκα. εἰ γοῦν ὁ λέγων οὐ δέκα ἐμφαίνει καὶ τὰ δέκα, ἀλλ’ ὅμως οὐκ εἴ τις λέγει δέκα, ἐξ ἀνάγκης λέγει οὐ δέκα, εἰ καὶ ἐν ταῖς ἀποφάσεσι δυνάμει λέγονται αἱ καταφάσεις· ἀεὶ γὰρ ἐν ταῖς ἀποφάσεσιν, ὡς δέδεικται ἐν τοῖς Μετὰ τὰ Φυσικά, ἐμφαίνονται αἱ οἰκεῖται καταφάσεις· ἐν γὰρ τῷ ‘οὐκ ἄνθρωποσ‘ δυνάμει ἐμφαίνεται τὸ ‘ἄνθρωποσ‘, εἴγε τὸ ‘οὐκ ἄν-
book 181b25 θρωποσ‘ ἀπόφασίς ἐστι τοῦ ‘ἄνθρωποσ‘, καὶ ὅταν λέγω ‘τόδε οὐκ ἄνθρωπός ἐστι‘, τοῦτό φημι· ‘τόδε οὐκ ἔστιν ἄνθρωπος.‘ καὶ τὸ ποιῆσαι ἐμφαίνεται ἐν τῷ μὴ ποιῆσαι, οἷον τὸ βαδίσαι ἐν τῷ μὴ βαδίσαι (τὸ γὰρ μὴ ποιεῖν στέρησις τοῦ ποιεῖν) καὶ τὸ λευκὸν ἐν τῷ οὐ λευκῷ. ἀλλ’ ὅμως, κἂν ἐν ταῖς ἀποφάσεσιν ἐμφαίνωνται αἱ καταφάσεις, καὶ ἐν τῷ μὴ λευκῷ δυνάμει συνεπινοεῖται τὸ λευκόν, ἀλλ’ οὖν οὐκ εἴ τις λέγων τοδὶ μὴ εἶναι λευκόν, λέγει αὐτὸ λευκὸν εἶναι (ἴσως γὰρ ἂν εἴη φαιόν, ὃ εἶπεν εἶναι μὴ λευκόν)· καὶ κἂν ἐν τῷ ‘οὐ δέκα‘ ἐμφαίνωνται τὰ δέκα, ἀλλ’ οὖν ὁ λέγων ‘οὐ δέκα‘ οὐ λέγει δέκα· οὕτως οὖν καὶ ἐν τοῖς ὀνόμασι τοῖς πρός τι ἔχουσι τὴν ἀναφοράν, οἷον ἐν τῷ ‘πατὴρ‘ καὶ ἐν τῷ ‘διπλάσιον‘, κἂν ἐν τῷ διπλασίῳ ἐμφαίνηται τὸ ἥμισυ, ἀλλ’ οὖν ὁ λέγων ‘διπλάσιον‘ οὐ λέγει καὶ ἥμισυ ἐνεργείᾳ, καὶ ὁ λέγων ‘πα-
book 181b25 τὴρ‘ οὐ λέγει καὶ υἱὸν ἐνεργείᾳ. “τὸ δὲ διπλάσιον οὐδὲν σημαίνει”—προσέθηκε δὲ τὸ “ἴσως” ἵνα δείξῃ ὅτι ἐνεργείᾳ μὲν οὐ σημαίνει τὸ ἥμισυ, δυνάμει δὲ σημαίνει. “ὥσπερ οὐδ’ ἐν τῷ ἡμίσει”, ἤτοι ὥσπερ οὐδὲ τὸ ἥμισυ αὐτὸ καθ’ αὑτὸ ληφθὲν καὶ χωρισθὲν τοῦ διπλασίου, οἷον ὅταν εἴπω τὸ ‘ἥμισυ‘ μόνον, οὐδὲν σημαίνει ἐνεργείᾳ κἂν δυνάμει τὸ διπλάσιον σημαίνῃ πρὸς τὸ διπλάσιον ἀναφέρεται. εἰ δὲ δώσομεν ὅτι καὶ τὸ ‘διπλάσιον· αὐτὸ καθ’ αὑτὸ σημαίνει, ἀλλ’ οὐ τὸ αὐτὸ δηλοῖ τὸ ‘διπλάσιον‘ διῃρημένον καὶ χωρισθὲν τοῦ ἡμίσεος καὶ αὐτὸ καθ’ αὑτὸ ληφθέν, καὶ συνῃρημένως, ἤτοι καὶ ληφθὲν μετὰ τοῦ ἡμίσεος. τὸ γὰρ λέγειν ‘διπλάσιον‘ καὶ ‘διπλάσιον ἡμίσεοσ‘ οὐ τὸ αὐτὸ σημαίνουσιν, ἀλλ’ ὅταν εἴπω ‘διπλάσιον‘ δυνάμει ἐσήμηνα τὸ ἥμισυ, ὅταν δὲ εἴπω ‘διπλάσιον ἡμίσεοσ‘ ἐνεργείᾳ ἐσήμηνα τὸ
book 181b25 ἥμισυ. “οὐδὲ ἡ ἐπιστήμη ἐν τῷ εἴδει”, ἤτοι ὥσπερ οὐδὲ ὅταν εἴπω ἰατρικὴν ἢ γραμματικὴν λέγω ἐπιστήμην, κἂν ἐν τῇ ἰατρικῇ καὶ τῇ γραμματικῇ ἀναφαίνηται ἡ ἐπιστήμη. ἐν γὰρ τοῖς εἴδεσιν ἐμφαίνονται τὰ γένη. γένος δὲ τῆς ἰατρικῆς καὶ τῆς γραμματικῆς ἡ ἐπιστήμη. οὐ γὰρ ἡ ἐπιστήμη ἐμφαίνεται ἐνεργείᾳ ἐν τῷ εἴδει. εἶτα δεικνὺς πῶς ὁ λέγων ἰατρικὴν οὐ λέγει ἐπιστήμην φησὶν ὅτι εἰ ἔστιν ἡ ἰατρικὴ ἐπιστήμη καὶ ὅπερ τὸ κοινόν, ἤτοι καὶ ταὐτὸν τῷ γένει, ὥστε τὸν λέγοντα ἰατρικὴν λέγειν ἐπιστήμην, ὥσπερ ἡ ἐπιστήμη λέγεταί τινος (ἤτοι τοῦ ἐπιστητοῦ) καὶ ἔστι τῶν πρός τι καὶ πρὸς τὸ ἐπιστητὸν ἔχει τὴν ἀναφοράν, οὕτω καὶ ἡ ἰατρικὴ εἶχεν ἂν τὴν ἀναφορὰν πρὸς τὸ ἐπιστητόν. λοιπὸν ἡ ἰατρικὴ καὶ ἡ ἐπιστήμη ταὐτὰ οὐκ εἰσί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org